www.tezaurliturgic.ro

12/5

ΤΙΜΗΣ ΕΝΕΚΕΝ

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΕΡΜΑΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΙΣ ΧΣ ΝΙ ΚΑ

ΕΚΔΙΔΕΤΑΙ ΠΡΟΝΟΙΑ
ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΗΛΕΙΑΣ
κ. ΓΕΡΜΑΝΟΥ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΒΑΣ. ΛΑΔΟΠΟΥΛΟΣ

1966

www.tezaurliturgic.ro

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

*Ἀριθ. { Πρωτ. 613 / Διεκπ. 196*

*Ἀθήνησι τῇ 1η Μαρτίου 1966*

*Πρὸς*

*τὸν Σεβασμιώτατον Μητροπολίτην Ἠλείας*

*κ. Γερμανὸν*

*Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,*

*Εἰς ἀπάντησιν τοῦ ὑπὸ στοιχεῖα Δ.Υ. ἀπὸ 26-2-1966 ὑμετέρου ἐγγράφου, δι' οὗ ὑποβάλλετε πρὸς ἔγκρισιν τὴν Ἱερ. Ἀκολουθίαν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γερμανοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, ὑπὸ τοῦ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας πονηθεῖσαν, Συνοδικῇ ἀποφάσει, γνωρίζομεν ὑμῖν, ὅτι ἐγκρίνεται αὕτη, καθ' ὅσον οὐδὲν περιέχεται ἐν αὐτῇ τὸ ἀπᾷδον πρὸς τὰ Δόγματα καὶ τὰς παραδόσεις τῆς Ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας.*

*Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.*

*† Ὁ Ἀθηνῶν Χρυσόστομος, Πρόεδρος*

*Ὁ Ἀρχιγραμματεὺς*
*Ἀρχιμ. Σερ. Ἀσπιώτης*

www.tezaurliturgic.ro

# Μαΐου ιβ΄

## Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γερμανοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ὤφθης ἐκ νεότητος, πεποικιλμένος ταῖς πράξεσι, τῆς σοφίας τῆς κρείττονος, ζωῆς καθαρότητι, καὶ περιφανείᾳ, ἀρετῶν ποικίλων, περιλαμπόμενος σοφέ, καὶ διαπρέπων λόγῳ τῆς χάριτος· ἐντεῦθεν ἐνθεώτατος, ἀρχιερεὺς ἐχρημάτισας, τῆς Κυζίκου καὶ πρόεδρος, Γερμανὲ ἱερώτατε.

Ψήφῳ θείου Πνεύματος, ὡς πλήρης θείας ἐλλάμψεως, ποιμὴν μέγας καὶ ἔνθεος, Κωνσταντινουπόλεως, Γερμανὲ ἐδείχθης, καὶ τῆς Ἐκκλησίας, ἁπάσης ἄδυτος φωστήρ, καταφωτίζων λόγοις καὶ πράξεσι, τῶν εὐσεβῶν τὸ πλήρωμα, καὶ τῶν αἱρέσεων ἅπασαν, διελέγχων ἀπόνοιαν, Ἱεράρχα μακάριε.

Λόγῳ τῆς σοφίας σου, ὡς δυσσεβῆ καὶ παράνομον, Γερμανὲ παμμακάριστε, πανσόφως διήλεγξας, τὸν περὶ τὴν πίστιν, Λέοντα σφαλέντα, τῆς Ἐκκλησίας τὴν ὀρθήν, καὶ τῶν Εἰκόνων Πάτερ ἐτράνωσας, τὴν σχετικὴν προσκύνησιν, ὡς τὰς καρδίας ἀνάγουσαν, τῶν πιστῶν καὶ τὴν ἔφεσιν, εἰς αὐτὸ τὸ πρωτότυπον.

www.tezaurliturgic.ro

Λύχνος ὁ πολύφωτος, τῆς ἐπιπνοίας τοῦ Πνεύματος, ἀρετῶν τὸ κειμήλιον, στόμα τὸ θεόφθογγον, ὄργανον τὸ θεῖον, ἡ εὔσημος λύρα, ᾀσμάτων τῶν πνευματικῶν, ἱεραρχίας ὁ νοῦς ὁ ἔνθεος, ὑμνείσθω θείοις μέλεσιν, ὁ Γερμανὸς ὁ μακάριος, ὁ πρεσβεύων ἑκάστοτε, ὑπὲρ πάντων πρὸς Κύριον.

Δόξα. Ἦχος γ΄.

Τῷ φωτὶ τῶν ἀρετῶν, καταλαμπρύνας τὴν ψυχήν, ταῖς ἀκτῖσι τῶν ἔργων σου, τὴν Ἐκκλησίαν ἐφαίδρυνας· τῶν ἀπορρήτων γὰρ μυσταγωγός, καὶ τῆς εὐσεβείας ὑποφήτης ὤφθης, θεοπρεπῶς πολιτευσάμενος, καὶ ἀμέμπτως ἱερατεύσας Θεῷ· καὶ ὡς θυσίαν αὐτῷ εὐπρόσδεκτον, προσαγαγὼν τοῦ βίου τὴν ἄθλησιν, τοῖς νοεροῖς συνήφθης λειτουργοῖς, Γερμανὲ θεοφάντορ Ὅσιε· μεθ᾿ ὧν ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Αἴγλη τῶν ἀρετῶν, καθάρας τὴν καρδίαν, ἰδεῖν κατηξιώθης, τὰς θεϊκὰς ἐλλάμψεις, Ἀρχιεράρχα Ὅσιε.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Λόγῳ σου ἱερῷ, εὐφραίνεις καὶ στηρίζεις, Χριστοῦ τὴν Ἐκκλησίαν, ὡς θεῖος Ἱεράρχης, ὦ Γερμανὲ Πατὴρ ἡμῶν.

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Μέγας ἀρχιερεύς, ἐν Βυζαντίῳ ὤφθης, καὶ πάσης Ἐκκλησίας, ὡς τοῦ Χριστοῦ θεράπων, λύχνος φωτοειδέστατος.

Δόξα. Τριαδικόν.

Τρίφωνε Παντουργέ, ὁμόδοξε Θεότης, Πάτερ Υἱὲ καὶ Πνεῦμα, λιταῖς τοῦ Ἱεράρχου, εἰρήνευσον τὸν κόσμον σου.

www.tezaurliturgic.ro



Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, Θεογεννῆτορ Κόρη, φωτὶ τῶν πρεσβειῶν σου, τὰς κόρας τῆς ψυχῆς μου, καταύγασον καὶ σῶσόν με.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! Παρακλήτου τὸ φῶς, Γερμανὸς ὁ πάνσοφος, ὡς σκεῦος περιφανές, βίου λαμπρότητος, δεξάμενος τῇ ψυχῇ, τῆς εὐσεβείας ἐκφαίνει τὴν ἔλλαμψιν, πιστούμενος ἐμφανῶς, τῶν Ἀποστόλων τὴν χάριν τὴν ἄνωθεν. Ὅθεν τὴν ἁγίαν μνήμην, τούτου ἑορτάσωμεν, ἵνα λάβωμεν πάντες, φωτισμὸν καὶ θεῖον ἔλεος.

Βαβαὶ τῆς σῆς εὐτολμίας σοφέ! δι᾿ ἧς ἐν σοφίᾳ, ἀληθεῖ διήλεγξας, τοῦ Λέοντος τὸ σαθρόν, καὶ ἄνουν φρόνημα, καὶ δόγμασιν ἱεροῖς, τὴν τῶν ἁγίων Εἰκόνων προσκύνησιν, ἐτράνωσας εὐσεβῶς, ὡς Ἀποστόλων τῶν θείων ὁμότροπος. Ὅθεν ὡς ὁμολογίας, στόμα σε γεραίρομεν, Γερμανὲ θεοφάντορ, καὶ Πατέρων ἐγκαλλώπισμα.

Τὴν καθαρὰν πολιτείαν σου, εὐαγέσι πόνοις, εὐσεβείας Ἅγιε, καὶ σκάμμασιν ἱεροῖς, ὡς κατεκόσμησας, ἐδείχθης θεοειδής, τῆς Ἐκκλησίας φωστὴρ καὶ διδάσκαλος, ἀκτῖσι ταῖς νοηταῖς, αἱρετικῶν διαλύων τὴν ζόφωσιν. Ὅθεν ὡς τῆς ἄνω δόξης, μέτοχος γενόμενος, Γερμανὲ Ἱεράρχα, ὑπὲρ πάντων ἡμῶν πρέσβευε.

Προσόμοια ἕτερα. **Ἦχος δ΄.** Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῆς σοφίας τοῦ Πνεύματος, φωραυγὲς ἐνδιαίτημα, Γερμανὲ μακάριε ἐκ νεότητος, ὡς ἀληθῶς ἐχρημάτισας, σαυτὸν καθηράμενος, προσπαθείας γεηρᾶς, διὰ βίου λαμπρότητος· ὅθεν ἔλαμψας, ὡς ἀστὴρ ἑωσφόρος καταυγάζων, τοῦ Χριστοῦ τὴν Ἐκκλησίαν, Ὀρθοδοξίας τοῖς δόγμασι.

www.tezaurliturgic.ro


Τῆς Κυζίκου τὸ ποίμνιον, ὡς πανσόφως ἐποίμανας, Κωνσταντινουπόλεως ἐνθεώτατος, ἀρχιεράρχης καὶ πρόεδρος, καὶ στύλος ὁλόφωτος, ἐπινεύσει θεϊκῇ, Γερμανὲ ἱερώτατε, ἀναδέδειξαι, καὶ φωτὶ τῶν πλουσίων ἀρετῶν σου, καὶ τῶν λόγων ταῖς ἀκτῖσι τὴν Ἐκκλησίαν ἐφαίδρυνας.

Ὡς θεόπνευστον ὄργανον, τῇ τῶν λόγων σου σάλπιγγι, Γερμανὲ θεόσοφε ἐμελῴδησας, ἄσματα θεῖα καὶ ᾔνεσας, Κυρίου τὴν σάρκωσιν, καὶ Ἁγίων ἑορτάς, καὶ δογμάτων ὀρθότητι, σοφῶς ἤλεγξας, τὸν δεινῶς ἀσεβοῦντα βασιλέα, παρ᾽ οὗ Πάτερ καὶ τοῦ θρόνου, τοῦ σοῦ ἀδίκως ἐκβέβλησαι.

Δόξα. Ἦχος πλ. β'.

Σήμερον ἐξέλαμψεν, ἡ τοῦ Ἱεράρχου Γερμανοῦ μνήμη, τὴν Ἐκκλησίαν καταφαιδρύνουσα· δεῦτε τῇ τούτου χάριτι μυσταγωγούμενοι, ἐνθέως ἑορτάσωμεν, πρὸς αὐτὸν βοῶντες· χαίροις ὁ πολιτείᾳ θείᾳ ἐμπρέψας, καὶ Ἀποστολικοῖς πλουτισθεὶς χαρίσμασι· χαίροις Ἱεράρχα θεόσοφε, ὁ ἀμέμπτως ἱερατεύσας Θεῷ, καὶ τῆς εὐσεβείας τρανώσας τὰς ἐκφάνσεις· χαίροις Εἰκονομάχων ἔλεγχος σφοδρός, καὶ τῆς ὀρθῆς λατρείας, τύπος καὶ παράδειγμα. Ἐν αὐτῇ καὶ ἡμῶν τὰς καρδίας στήριξον, καὶ πρέσβευε Κυρίῳ Πάτερ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξο-

 www.tezaurliturgic.ro

δοί μου, ἔξοδοι ζωῆς, ὡς ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμή βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένος δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γέννηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε πνεύματος.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται· χείλη ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν. Δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ

www.tezaurliturgic.ro



δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτήν, οὐ κοπιάσει καὶ ὁ ἀγρυπνήσας δι᾿ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὕτη περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ· ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστης γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην, καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγιγνώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβουλος ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας. Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν Κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου· ἵνα συμπαροῦσα μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί, καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

### Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Τῶν ἀρετῶν τὸ γέρας, περιποιησάμενος δι᾿ ἔργων, ἱερωσύνης τὴν στολήν, θεόθεν ἐκομίσω, Ἱεράρχα Γερμανέ· φιλοσοφίᾳ

www.tezaurliturgic.ro

γὰρ τῇ θείᾳ, καθαγνίσας τὸν νοῦν, ἐνδιαίτημα πολύτιμον, τοῦ Ἁγίου Πνεύματος ὤφθης· ἐν αὐτῷ γὰρ ζῶν καὶ φθεγγόμενος, ῥήματα ζωῆς αἰωνίου, καὶ δογμάτων ἀκρίβειαν, καὶ ζωῆς ἀρίστης τύπον, τῇ Ἐκκλησίᾳ παρέθηκας. Ἀλλ᾽ ὡς ὑπὲρ ταύτης τιθεὶς τὴν ψυχήν, καὶ τὰ ἄνω οἰκήσας βασίλεια, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος β΄.

Παντοδαποῖς κεκοσμημένος προτερήμασι, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ κατεκόσμησας, τῇ σῇ σοφῇ ἡγεσίᾳ, Ἱεράρχα Γερμανέ· οὐ μόνον γὰρ τῷ λόγῳ τῆς χάριτος, πολλῷ δὲ μᾶλλον πολιτείᾳ σώφρονι, τῶν πιστῶν τὰς ψυχὰς ἐπαίδευσας, τὰ ἄνω ποθεῖν καὶ ζητεῖν, καὶ ἀλλοτρίων δογμάτων ἀπέχεσθαι· καὶ περίβλεπτος ἐν πᾶσι γενόμενος, πρὸς τὴν ἁμαρτίαν, μέχρις αἵματος ἀντικατέστης, ὑπὲρ τῆς ὀρθῆς πίστεως, σαὐτὸν προϊέμενος· διό σε ἐδόξασεν, ὁ τῆς δόξης Κύριος.

Ἦχος γ΄.

Τοῦ Εὐαγγελίου τῆς ζωῆς, λειτουργὸς ἐνθεώτατος, ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀναστροφῇ, Ἀποστολικῶς ἐχρημάτισας, Ἱεράρχα πανσεβάσμιε· καὶ καλῶς διαγαγών, τὴν δοθεῖσαν σοι ἐξουσίαν, ἀγγελικῶς ἱεράτευσας, τῷ σαρκωθέντι Θεῷ ἡμῶν· οὗ τὴν ἐν σαρκὶ οἰκονομίαν, θεοφρόνως θεολογῶν, τῆς ἐμφερείας αὐτοῦ τὴν Εἰκόνα, τιμᾶν καὶ προσκυνεῖσθαι, ὀρθοδόξως ἐκήρυξας, Εἰκονομάχους ἐκτρεπόμενος. Ἀλλ᾽ ὡς τοῦ ξύλου τῆς ζωῆς κατατρυφῶν, θεοφάντορ Γερμανέ, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Ἡ τοῦ Πνεύματος Χάρις, Δαβιτικῶς τοῖς Χείλεσί σου ἐξεχύθη, Ἱεράρχα Γερμανὲ Πατὴρ ἡμῶν, καὶ ὄργανον θεῖον σὲ ἀνέδειξε, καὶ λύραν παναρμόνιον, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ· ὅθεν λόγοις μελιρρύτοις, καὶ ὕμνοις ἐνθέοις ᾔνεσας, τῆς ἐν Χριστῷ οἰκονομίας, τὸ μέγα μυστήριον· καὶ τύπον καὶ εἰκόνα, σαὐ-

www.tezaurliturgic.ro

τὸν παραστήσας, τῆς ἐν πνεύματι λατρείας καὶ ζωῆς, τοῦ σαρκωθέντος Σωτῆρος τὴν Εἰκόνα, σέβεσθαι ἐδίδαξας, θεοφθόγγῳ γλώσσῃ· ἐντεῦθεν ὡς ἀληθείας ὑφηγητής, καὶ ποιμὴν ποιμένων, καὶ μέγας ὁμολογητής, ἀξίως ἐμεγαλύνθης, καὶ παρέχεις πᾶσι, τὰ πρὸς σωτηρίαν αἰτήματα.

Δόξα. Ἦχος β΄.

Τῆς σοφίας τῆς κρείττονος, θησαυρὸς ἐχρημάτισας θεοπρεπῶς πολιτευσάμενος, Γερμανὲ ἱερώτατε· ὁλοσχερῶς γὰρ Θεῷ ἀνακείμενος, ταῖς θείαις μελέταις τὸν νοῦν ἐπτέρωσας, καὶ τῶν γηΐνων ὑπέρτερος, ὡς οὐρανόφρων ὤφθης· ὅθεν ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τῇ σῇ ἱερατείᾳ σεμνύνεται, καὶ τοῖς ὁσίοις πόνοις σου, τοὺς υἱοὺς αὐτῆς μυσταγωγεῖ, πρὸς εὐσεβείας ἐπιδόσεις. Ἀλλ᾽ ᾧ Ἱεράρχα μακάριε, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε μιαιφόνων ἐκ Χειρῶν, Πάτερ προμηθείᾳ ἐρρύσθης, τοῦ Παντοκράτορος, τότε καταλέλεξαι παρθένων τάγματι, τῇ ἁγνείᾳ κοσμούμενος, καὶ πάσαις ἰδέαις, ἐναρέτων πράξεων, καταλαμπόμενος· ὅθεν ὥσπερ λύχνος ἐκλάμψας, ἀρχιερωσύνης ἐμπρέπεις, Γερμανὲ παμμάκαρ τοῖς Χαρίσμασι.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν...

Ὅτε θεοσόφῳ διδαχῇ, ἤλεγξας τὸ ἄθεον δόγμα. Πάτερ τοῦ Λέοντος, τότε ὁ παράνομος ἄναξ ἐμβρόντητος, τῇ σοφίᾳ γέγονε, καὶ τοῦ ἱεροῦ σε, θρόνου κατεβίβασε, νοῒ ἀγνώμονι· σὺ γὰρ τοῦ Χριστοῦ τὴν Εἰκόνα, σέβεσθαι ἐκήρυξας πᾶσι, θείαις παραδόσεσιν ἑπόμενος.

www.tezaurliturgic.ro

Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Ὅτε θεοφθόγγοις σου μολπαῖς, ᾔνεσας ὡς ὄργανον θεῖον, τὰ μεγαλεῖα θεοῦ, τότε ἐνθεώτατος μύστης τῆς χάριτος, Γερμανὲ ἐχρημάτισας, ἀρετῶν ἁγίων, λόγῳ ἐκτιθέμενος, δόξαν τὴν ἄρρητον· ὅθεν ἰσαγγέλως βιώσας, τὴν ἱερωσύνην λαμπρύνεις, Πάτερ τοῖς σεπτοῖς σου κατορθώμασι.

Δόξα. Ἦχος πλ. δ'.

Τῷ λόγῳ τῆς χάριτος, τῶν εὐσεβῶν τὰς ἀκοὰς ὑπανοίγων, τὴν Ἐκκλησίαν ἐφαίδρυνας, τοῖς θεοφθόγγοις σου ῥήμασι· καὶ τῇ ἰσχύϊ τῆς γλώσσης σου, τὰς περὶ τῶν θείων Εἰκόνων, διατρανώσας ὑπολήψεις, τῆς ἀληθείας τὸν χαρακτῆρα ἐνέφηνας· διὸ ἐν ἀμφοτέροις διαπρέψας, τὰ γέρα τῶν πόνων σου, παρὰ Θεοῦ ἀξίως εἴληφας· ᾧ καὶ πρεσβεύοις ἀπαύστως, Γερμανὲ ἱερώτατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Σοφίας τοῖς δόγμασιν ἐκπαιδευθεὶς εὐκλεῶς, φωστὴρ ἐχρημάτισας, τῆς Ἐκκλησίας Χριστοῦ, ἐν λόγοις καὶ πράξεσι· σύμμορφος γὰρ ὑπάρχων, τῆς εἰκόνος Κυρίου, λύεις Εἰκονομάχων, τὴν ἀντίθεον πλάνην· διό σε ἱεράρχα Γερμανέ, Χριστὸς ἐδόξασε.

*Κοίτα Μηναίον εις 11ο Απολυτίκιον.*

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἐξέλαμψε λαμπρῶς, ἡ ἁγία σου μνήμη, ὡς ἄστρον φαεινόν, Γερμανὲ Ἱεράρχα, ἡμᾶς καταλαμπρύνουσα, ταῖς ἀκτῖσι τῶν τρόπων σου· ἣν γεραίροντες, ᾀσματικῶς σε τιμῶμεν ὡς θεράποντα, καὶ ἀληθῆ μυστηπόλον, τῆς θείας Χρηστότητος.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Εἰκόνα θεόγραφον, τῶν ἱερῶν ἀρετῶν, σαὐτὸν προτιθέμενος, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ζωῆς καθαρότητι, σέβεσθαι καὶ τιμᾶσθαι, τὰς πανσέπτους Εἰκόνας, στόματι θεηγόρῳ, ἀνεκήρυξας Πάτερ, φυλάττων τῆς λατρείας, τὸν τύπον ἀπαραχάρακτον.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Θείας πίστεως, ὀρθοδοξίᾳ, ὑπεστήριξας, τὴν Ἐκκλησίαν, θεοφάντορ Γερμανὲ παμμακάριστε, καὶ τῶν αἱρέσεων λύσας τὴν ζόφωσιν, πρὸς ἀφθαρσίας τὸ φῶς ἐξεδήμησας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ τὸ τῆς Ἑορτῆς.

 www.tezaurliturgic.ro

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ Προκείμενον.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη...

Εὐαγγέλιον τὸ τοῦ Ἁγ. Χρυσοστόμου.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ποιμαντικοῖς διαπρέψας ἀγῶσιν, ὡς Ἱεράρχης σοφὸς ὁμολογίᾳ σαυτὸν ἐφαίδρυνας, Γερμανὲ παμμάκαρ· οὐ γὰρ ἐκάμφθης ἀπειλαῖς, τοῦ παρανομήσαντος ἄνακτος, ἀλλ᾽ ἐν ἡσυχίᾳ προέκρινας διάγειν, καὶ συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ συγκοινωνεῖν, τῆς αἱρέσεως πλάνῃ· διὸ Χριστός, τοὺς σοὺς καμάτους δεξάμενος, λαμπρῶς σε ἐδόξασεν, ἐν τῇ ἀϊδίῳ ζωῇ. Αὐτῆς καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, δεόμεθα Ἅγιε.

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς, ἢ τοῦ Πάσχα, καὶ τοῦ Ἁγίου, ἔχων τήνδε ἀκροστιχίδα.

«Τὸ Γερμανοῦ γέρας γεραρέσθω. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Τῷ φέγγει τῆς Χάριτος, καταλαμπόμενος Ἅγιε, τὸν νοῦν μου καταύγασον, ταῖς ἱκεσίαις σου, ἀνυμνοῦντός σου, τὴν μνήμην Ἱεράρχα, καὶ βίου σου Ὅσιε, προτερήματα.

Ὁ λύχνος ὁ πάμφωτος, τῶν χαρισμάτων τοῦ Πνεύματος, τὸ γέρας τὸ ἔνθεον, τῶν ἱερῶν ἀρετῶν, ἀνυμνείσθω μοι, ὁ Γερμανὸς ὁ μέγας, ὁ πᾶσιν αἰτούμενος, πταισμάτων ἄφεσιν.

www.tezaurliturgic.ro


Γνωρίζων ὁ Κύριος, τὴν ἐσομένην σοι ἔλλαμψιν, χειρός σε ἐρρύσατο, φονώσης Ἅγιε, καὶ παρθένων σε, ἐν εὐνουχίᾳ Πάτερ, χορείᾳ κατέλεξε, προβλέψει κρείττονι.

Θεοτοκίον.

Ἐκ σοῦ σεσωμάτωται, ὁ Ὑπερούσιος Κύριος, ὃ ἦν μείνας Ἄχραντε, καὶ ὃ οὐκ ἦν προσλαβών, ἀνεκαίνισε, τὴν τῶν ἀνθρώπων φύσιν, ὁ μόνος φιλάνθρωπος, δι᾽ ἀγαθότητα.

Καταβασίας τῆς τυχούσης Ἑορτῆς, ἢ τοῦ Πάσχα.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ῥεόντων εὐκλείας ἀπανθούσης, μακρύνας παμμάκαρ Γερμανὲ τὸ γεγονός σοι Ὅσιε, ὡς εὐδοκίαν κρείττονα, ἐμφρόνως ἡγησάμενος, ταῖς ἀρεταῖς ἐνδιέπρεψας.

Μελέτη Γραφῶν τῶν θεοπνεύστων, λαμπρύνας νοὸς τὸ ὀπτικόν, τὰ ὑπὲρ νοῦν μεμύησαι, τῇ καθαρᾷ καρδίᾳ σου, πρὸς θεωρίαν ἄϋλον, ἐκ πρακτικῆς ἀναγόμενος.

Ἁγνείᾳ καὶ βίῳ λαμπροτάτῳ, ἐκλάμπων θεόφρων Γερμανέ, ἀρχιερεὺς Θεόληπτος, καὶ πρόεδρος περίδοξος, τῆς Ἐκκλησίας πέφηνας, τῆς ἐν Κυζίκῳ μακάριε.

Θεοτοκίον.

Νοός μου διάλυσον τὸ σκότος, πληροῦν τὴν καρδίαν μου ἀεί, τῶν γεηρῶν προλήψεων, φωτὶ τῷ τοῦ προσώπου σου, Παρθένε ἡ κυήσασα, Χριστὸν τὸ φῶς τῶν ψυχῶν ἡμῶν.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἱερὰν ἀμπεχόμενος τὴν στολήν, ἀνεδείχθης ὑπέρμαχος τοῦ Χριστοῦ, μὴ πτήξας παράνομον, Βασιλέα Πατὴρ ἡμῶν, τὸν αὐχένα μὴ κλίνας, ἀθέῳ προστάγματι, ῥαπισμοὺς ὑποφέρων, ὀνείδη

www.tezaurliturgic.ro

καὶ σκώμματα· ὅθεν ὁ ἀλάστωρ, τῷ θυμῷ ὑπερζέσας, φρουρᾷ σε κατέκλεισε, μέχρι τέλους μακάριε· διὰ τοῦτο βοῶμέν σοι. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὁ περίβλεπτός σου βίος, πανταχοῦ σε περίβλεπτον, ἀνέδειξε Πάτερ, οἷα τοῦ Θεοῦ φίλον γνήσιον, καὶ ἀρετῶν ἐνθεώτατον ἐκφάντορα, ἀνακράζοντα· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὑψηλῆς ἐπὶ καθέδρας, ὥσπερ λύχνος πολύφωτος, ταπεινῇ καρδίᾳ, Πάτερ Ἱεράρχα ἀνέλαμψας, ἐπὶ τὸν θρόνον τὸν μέγαν ὡς ἐκάθισας, θείῳ Πνεύματι, τῆς βασιλίδος τῶν πόλεων.

Γέρας ὤφθης Ἐκκλησίας, Γερμανὲ ἱερώτατε, πανιέρῳ βίῳ, καὶ τῇ τῶν δογμάτων ὀρθότητι, καὶ διδαχαῖς θεηγόροις συμνυνόμενος, ὡς τῆς χάριτος, μυσταγωγὸς ἐνθεώτατος.

Ἐναρέτοις σου ἰδέαις, Γερμανὲ παμμακάριστε, καὶ σοφίας πλούτῳ, καὶ τοῖς ἱεροῖς σου παλαίσμασι, τὴν ἱερὰν ἀμπεχόνην πολλῷ πλείονι, κατελάμπρυνας, ὡς Ἱεράρχης θεόσοφος.

Θεοτοκίον.

Ῥῦσαι Κόρη τὴν ψυχήν μου, τῆς δουλείας τοῦ χείρονος καὶ τῷ θείῳ φόβῳ, ῥύθμισον τὸν νοῦν μου ὡς εὔσπλαχνος, ἐπιλαβέσθαι ζωῆς δι᾿ ἧς ὀφθήσομαι, δοῦλος γνήσιος, τοῦ ἐκ νηδύος σου λάμψαντος.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἁγίων τὰ σκάμματα, τῇ θεηγόρῳ γλώσσῃ σου, μέλπων Γερμανὲ ὕμνοις ἐνθέοις, τὴν τοῦ Σωτῆρος ἄρρητον κένωσιν, ᾔνεσας πανσόφοις σου ᾠδαῖς, ὡς κιθάρα ἔμμουσος, καὶ θεόπνευστον ὄργανον.

www.tezaurliturgic.ro



Σοφίᾳ τῶν λόγων σου, τὸν ἀσεβοῦντα ἄνακτα, ἤλεγξας ὡς θεῖος Ἱεράρχης, ὡς ἀθετοῦντα τὴν τῶν Εἰκόνων τιμήν· ὅθεν ἀληθείας ἀρραγῆ, στύλον σε γινώσκομεν, καὶ θεμέλιον ἄσειστον.

Γενναίως ἀνθέστηκας, προπολεμῶν στερρότατα, Πάτερ τῆς ὀρθῆς ὁμολογίας, τοῖς κενοφώνοις δόγμασιν Ὅσιε, σέβων τὴν ἐν σώματι μορφήν, ἣν σώζων τὸν ἄνθρωπον, ὁ Δεσπότης προσέλαβε.

Θεοτοκίον.

Ἐν σοὶ κατεσκήνωσεν, ὁ Λόγος ὁ Ὑπέρθεος, καὶ ἐκ σοῦ λαβὼν Ἁγνὴ τὴν σάρκα, ὤφθη τῷ κόσμῳ Θεὸς καὶ ἄνθρωπος, οὗ τὴν ἐν σαρκὶ περιγραφήν, Γερμανὸς ὁ πάνσοφος, ὀρθοδόξως ἐκήρυξε.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ῥάβδῳ τῶν θείων δογμάτων σου, σαφῶς τὴν Ἐκκλησίαν ἐποίμανας, λόγοις καὶ πράξεσιν, ὡς Ἀποστόλων ὁμότροπος, Ἀρχιερεῦ Κυρίου, ἀξιοθαύμαστε.

Ἀκούσας Πάτερ τῶν λόγων σου, ἐμβρόντητος ὁ ἄναξ ὁ δείλαιος, Γερμανὲ πέφηνεν· οὐ γὰρ ἠνέσχετο Ἅγιε, τὸ φῶς τῆς ἀληθείας, σκότος γενόμενος.

Ἰδὼν ψυχῆς σου τὸ ἄτρεπτον, ὁ Λέων Γερμανὲ ἱερώτατε, γνώμῃ παράφρονι, ἐκ τῆς οἰκείας καθέδρας σε, κατάγει ὡς οὐδόλως, τούτῳ ὑπείκοντα.

Θεοτοκίον.

Ῥείθροις τῆς σῆς ἀγαθότητος, τὴν ἄνικμον ψυχήν μου καὶ ἄγονον, Κόρη κατάρδευσον, ἵνα ζωὴν τὴν ἐνάρετον, Θεῷ καρποφορήσῃ, καρπὸν ὡς ὥριμον.

 www.tezaurliturgic.ro

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Οἰκονόμος ἄριστος, τῶν δωρεῶν τοῦ Σωτῆρος, ὡς εἰκὼν θεόγραφος, τῶν ἀρετῶν πέλων Πάτερ, ἔλαμψας, ἐν Ἱεράρχαις ἀμέμπτῳ βίῳ· ἔδειξας, τὴν τῶν Εἰκόνων τιμὴν προσφόρως· διὰ τοῦτο σοι βοῶμεν· Χαίροις τρισμάκαρ, Γερμανὲ ἔνδοξε.

Ὁ Οἶκος.

Ἐκ ῥίζης Πάτερ εὐκλεοῦς, βλαστήσας ὥσπερ φοίνιξ, ἐξήνθησας Δαβιτικῶς, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καρποὺς τοὺς ψυχοτρόφους· ἀμέμπτως γὰρ καὶ σωφρόνως, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ πολιτευσάμενος, ἀπαθείας ἐδείχθης ὄργανον, καὶ τοῦ Παρακλήτου σκήνωμα πολύτιμον· ἐντεῦθεν ἱερατεύσας Θεῷ, ἐν Κυζίκῳ μὲν πρῴην. καὶ εἶτα ἐν τῇ βασιλίδι πόλει, ὡς Ἱεράρχης μέγας καὶ θεοειδής, καὶ παγκόσμιος φωστὴρ ἀνέλαμψας· καὶ τῶν Εἰκονομάχων διαλύσας τὴν σκοτόμαιναν, Ὀρθοδοξίας διαυγάζεις φῶς τοῖς βοῶσι· χαίροις τρισμάκαρ Γερμανὲ ἔνδοξε.

Συναξάριον.

Τῇ ιβ΄. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γερμανοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Στίχ. Χαίρων ἀφεὶς γῆν Γερμανὸς καὶ γῆς θρόνον
Γῆς Δημιουργοῦ τὸν θρόνον χαίρει βλέπων.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## ΒΙΟΣ
## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΕΡΜΑΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Ὁ περίδοξος Πατριάρχης Κωνσταντινουπόλεως Γερμανὸς ὁ Α΄. ἐγεννήθη κατὰ πᾶσαν πιθανότητα, ἐν Κωνσταντινουπόλει, ἦτο δὲ υἱός, τοῦ Πατρικίου Ἰουστινιανοῦ, τὸν ὁποῖον ἐφόνευσεν ὁ Βασιλεὺς Κωνσταντῖνος Δ΄. ὁ

www.tezaurliturgic.ro


Πωγωνᾶτος. Ὁ βασιλεὺς οὗτος καθιστῶν τὸ ἔγκλημά του βδελυρότερον, διέταξε νὰ εὐνουχισθῇ καὶ ὁ υἱὸς τοῦ θύματος, ὁ κατόπιν περίφημος Πατριάρχης Γερμανὸς ὁ Α΄. Ἡ καταδρομὴ καὶ κάκωσις αὕτη δὲν ἀπήλπισε τὸν ὀρφανὸν παῖδα, τοὐναντίον τὸν ἔκαμε νὰ προσηλωθῇ περισσότερον εἰς τὰ Θεῖα, ἀπὸ τὰ ὁποῖα ἠρύετο παρηγορίαν καὶ ἐνίσχυσιν.

Ἐπειδὴ ὁ νεαρὸς Γερμανὸς ἦτο εὔπορος, ἀπεφάσισε κατὰ τὴν νεανικήν του ἡλικίαν νὰ ἐπισκεφθῇ τὰ Ἱεροσόλυμα, εὐλαβὴς προσκυνητὴς τῶν Ἁγίων Τόπων. Ἐπεδόθη δὲ μετὰ μεγίστου ζήλου εἰς τὴν μελέτην τῶν Ἁγίων Γραφῶν, καὶ κατέστη ἱκανώτατος εἰς τὴν ὀρθόδοξον Θεολογίαν καὶ συγχρόνως εἰς τὰ ζητήματα τῶν διαφόρων αἱρέσεων. Ἐχειροτονήθη ἐνωρὶς Ἱερεύς, καὶ ἐπὶ Πατριάρχου Κύρου, τῷ 705 προήχθη εἰς ἐπίσκοπον Κυζίκου. Τότε, δοθείσης ἀφορμῆς ἐπολέμησε λαμπρῶς τὴν αἵρεσιν τῶν Μονοθελητῶν μολονότι αὕτη διετέλει ὑπὸ τὴν προστασίαν τοῦ βασιλέως Φιλίππου. Ἐπὶ κεφαλῆς τοῦ ἀγῶνος κατὰ τῆς αἱρέσεως ταύτης ἦτο αὐτὸς ὁ Πατριάρχης Κῦρος, ὅστις καὶ κατεβιβάσθη τοῦ Θρόνου, περιορισθεὶς εἰς τὴν Μονὴν τῆς Χώρας.

Διάδοχος τοῦ Κύρου εἰς τὸν Πατριαρχικὸν θρόνον ἀνεδείχθη ὁ διάκονος τοῦ Πατριαρχικοῦ Θρόνου Ἰωάννης ὁ Στ΄. ὅστις ἦτο ὀπαδὸς τῆς αἱρέσεως τοῦ Εὐτυχοῦς καὶ Διοσκόρου.

Εὐτυχῶς ὁ αἱρετικὸς οὗτος Πατριάρχης ἀπέθανεν ἐνωρὶς καὶ ἐκλήθη εἰς τὸν Πατριαρχικὸν θρόνον ὁ ἐπίσκοπος Κυζίκου Γερμανὸς τὴν 11ην Αὐγούστου 715. Διασώζεται μάλιστα καὶ τὸ ἔγγραφον τῆς μεταθέσεώς του, ἀπὸ τὸν χρονογράφον Θεοφάνην, ἔχον οὕτω:

«Ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοσεβεστάτων πρεσβυτέρων καὶ διακόνων καὶ παντὸς τοῦ εὐαγοῦς κλήρου, καὶ τῆς ἱερᾶς συγκλήτου, καὶ τοῦ φιλοχρήστου λαοῦ τῆς Θεοφυλάκτου ταύτης καὶ βασιλίδος πόλεως, ἡ Θεία Χάρις, ἡ τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα συμπληροῦσα, μετατίθεται Γερμανὸν τὸν ὁσιώτατον Μητροπολίτην καὶ πρόεδρον τῆς Κυζίκου μητροπόλεως εἰς ἐπίσκοπον ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως».

Κατὰ τὴν ἐποχὴν ἐκείνην ἀνεφάνη ἡ αἵρεσις τῶν εἰκονομάχων ὑπὸ τὴν προστασίαν τοῦ αὐτοκράτορος Λέοντος τοῦ Ἰσαύρου. Ὁ Λέων ἐζήτησεν, ὅπως ὁ Γερμανὸς ὁ Α΄. συντρέξῃ τὸν ἀγῶνα κατὰ τῶν ἁγίων εἰκόνων, ἀλλ᾽ ὁ εὐσεβὴς καὶ γενναῖος Πατριάρχης ἠρνήθη. Εἶπε δὲ μετὰ θάρρους εἰς τὸν βασιλέα:

«Ὁ πόλεμος τὸν ὁποῖον κινεῖς, οὔτε πρὸς τὴν ἀληθῆ εὐσέβειαν εἶναι

www.tezaurliturgic.ro

σύμφωνος, οὔτε τὴν Ἐκκλησίαν ὠφελεῖ, οὔτε τὸ Κράτος. Τουναντίον προβλέπω, ὅτι μόνον ταραχαὶ θὰ προκληθοῦν, σάλος θὰ ἐγερθῇ, πάθη θὰ ἐξαφθοῦν, ἠθικαὶ καὶ πολιτικαὶ δυνάμεις θὰ καταναλωθοῦν, χωρὶς ἡ κατὰ τῶν ἁγίων εἰκόνων ἐπιχείρησίς σου, νὰ στεφθῇ ὑπὸ ἐπιτυχίας».

Ἀλλ' ὁ Λέων ἦτο ἀμετάπειστος, καὶ κάθε ἡμέραν ἐπίεζε τὸν Πατριάρχην καὶ τὸν ἠπείλει μὲ μέτρα βασανιστικὰ καὶ ἐξορίαν. Τότε ὁ Πατριάρχης τοῦ ὑπενθύμισε τὸν ὅρκον τὸν ὁποῖον ἔδωκε κατὰ τὴν στέψιν του εἰπών:

«Ἐν μηδενὶ σαλεῦσαι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ τῶν αὐτῆς ἀποστολικῶν καὶ Θεοπαραδότων θεσμῶν».

Ἀκόμη δὲ ἐτόνισεν εἰς τὸν βασιλέα, ὅτι αὐτὰ ἦσαν ζητήματα τῆς ἀποκλειστικῆς δικαιοδοσίας Συνόδου Οἰκουμενικῆς. Ἀλλ' ὁ αὐτοκράτωρ εἶχεν ὦτα διὰ νὰ μὴ ἀκούῃ, καὶ προβὰς εἰς διάφορα ἀντιεκκλησιαστικὰ μέτρα ἠνάγκασε τὸν Πατριάρχην εἰς παραίτησιν. Ἡ περὶ ταύτης ἀπόφασις ἐλήφθη τὴν 6 Ἰανουαρίου ἔτους 730, καθὼς δὲ ἱστορεῖ ὁ Κεδρηνός, ὁ Γερμανός, ὁ Α'. ἐξερχόμενος τῶν ἀνακτόρων εἶπε διδακτικώτατα πρὸς τὸν βασιλέα. «Ἐάν εἰμι ἐγὼ ὁ Ἰωνᾶς, βάλετέ με εἰς τὴν θάλασσαν· χωρὶς γὰρ Οἰκουμενικῆς Συνόδου καινοτομῆσαι πίστιν, ὦ βασιλεῦ, ἀδυνατῶ».

Μετὰ τὴν παραίτησίν του ὁ Γερμανὸς ἰδιώτευσεν ἐν τῷ πατρικῷ οἴκῳ εὑρισκομένῳ εἰς τόπον λεγόμενον Πλατάνιον, καὶ ἀπέθανεν τὴν 12 Μαΐου 740. Ἐτάφη δὲ εἰς τὴν Μονὴν τῆς Χώρας, ὅπου ἐνεκλείοντο καὶ τὰ ὀστᾶ τοῦ φίλου του καὶ συναθλητοῦ Πατριάρχου Κύρου.

Ἐπὶ τῆς Πατριαρχείας τοῦ Γερμανοῦ τούτου τῷ 718 ἡ Κωνσταντινούπολις ἐσώθη ἐκ βαρβάρου ἐπιδρομῆς. Καὶ τότε συνεπληρώθη ἡ ἀκολουθία τοῦ Ἀκαθίστου Ὕμνου, τοῦ ὁποίου τὸν κανόνα ἀπὸ τοῦ ***«Ἀνοίξω τὸ στόμα μου»*** ἔγραψεν ὁ Ἀνδρέας Κρήτης.

Ὁ Γερμανὸς ἦτο προικισμένος ὄχι μόνον μὲ πυρίνην θερμότητα πρὸς τὴν ὀρθόδοξον πίστιν, ὄχι μόνον μὲ μεγίστην θεολογικὴν μόρφωσιν καὶ θάρρος φρονημάτων, ἀλλὰ καὶ μὲ προγνωστικὸν χάρισμα.

Διηγοῦνται οἱ ἱστορικοὶ Θεοφάνης καὶ Κεδρηνός, ὅτι μίαν ἡμέραν, ἐν ᾧ μετέβαινε πρὸς τὸν αὐτοκράτορα Λέοντα, ἐπάτησεν ὄπισθεν τὴν στολήν του ὁ Σύγκελλος Ἀναστάσιος. Ὁ Πατριάρχης ἐγνώριζε καλῶς τὰς αἱρετικὰς δοξασίας τοῦ Ἀναστασίου, τὴν ἀχαλίνωτον κενοδοξίαν του, τὴν ἐπιθυμίαν νὰ καταλάβῃ τὸν Πατριαρχικὸν θρόνον, καὶ τὴν ὑπόσχεσιν ποὺ ἔδωκεν εἰς τὸν Λέοντα, νὰ τὸν βοηθήσῃ εἰς τὸν κατὰ τῶν ἁγίων εἰκόνων ἀγῶνα του. Ἐστράφη λοιπὸν πρὸς τὸν Ἀναστάσιον καὶ τοῦ εἶπεν:

www.tezaurliturgic.ro 

«Μὴ σπεύδεις· ἐγκαίρως μέλλεις νὰ χαιρετίσῃς τὸ Ἱπποδρόμιον».

Ἡ πρόρρησις ἐπαλήθευσε πλήρως. Μετὰ τὴν παραίτησιν τοῦ Γερμανοῦ ὁ Λέων ἔφερεν εἰς τὸν θρόνον τὸν Ἀναστάσιον. Ἀλλ' ὁ κατόπιν αὐτοκράτωρ Κωνσταντῖνος ὁ Κοπρώνυμος, ὑποπτεύσας τὸν Ἀναστάσιον, ὅτι συνεργάζεται δολίως διὰ τὴν ἄνοδον εἰς τὸν αὐτοκρατορικὸν θρόνον τοῦ Ἀρταβάσου, τὸν ἐτιμώρησε χυδαιότατα, ἀλλὰ ἀξίως τῆς ἐλεεινότητος τοῦ χαρακτῆρος του. Τὸν ἐκάθισεν ἀνάστροφα ἐπὶ ὄνου καὶ τὸν διεπόμπευσε, περιαγαγὼν αὐτὸν τοιουτοτρόπως ἀνὰ τὸ ἱπποδρόμιον.

Τοιουτοτρόπως μετὰ 25ετίαν ἐπραγματοποιεῖτο ἡ προφητεία τοῦ Γερμανοῦ.

Ὁ Γερμανὸς ἐχρησιμοποίησε τὸν χρόνον του, γράφων βαρυσήμαντα ἔργα.

Σῴζονται ἐκ τῶν συγγραμμάτων του, 1) περὶ αἱρέσεων καὶ Συνόδων, 2) τρεῖς ἐπιστολαί του, ἡ μία πρὸς Ἰωάννην, Ἐπίσκοπον Συνάδων, ἡ ἑτέρα πρὸς Κωνσταντῖνον, ἐπίσκοπον Νακολείας, ἡ τρίτη πρὸς Θωμᾶν, ἐπίσκοπον Κλαυδιουπόλεως, 3) λόγοι εἰς τὴν προσκύνησιν τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ κατὰ τὴν Κυριακὴν τῆς Σταυροπροσκυνήσεως, καὶ εἰς τὴν ἡμέραν τοῦ Μεγάλου Σαββάτου.

Προσέτι λόγοι δύο εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου, ἕτερος εἰς τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου, ἐν εἴδει διαλόγου, τρεῖς ἄλλους εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου.

Σῴζεται δὲ καὶ ὁμιλία του εἰς τὰ ἐγκαίνια τοῦ σεβασμίου Ναοῦ τῆς Θεοτόκου καὶ εἰς τὰ ἅγια σπάργανα τοῦ Ἰησοῦ Χριστοῦ.

### Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν Πυρί.

Ἐνδεδυμένος ἱερῶς, Πάτερ Γερμανὲ θεηγόρε, ἱερωσύνης τὴν στολήν, Ἱεράρχης θεόληπτος πέφηνας, καὶ θεῷ ἱεράτευσας, ὥσπερ ἄγγελος ἐν κόσμῳ ἱεροφάντορ.

Σύνεσιν ἔχων ἀληθῆ, ἤλεγξας ἀσύνετον δόγμα, τὸ τὴν τιμὴν τὴν σχετικήν, ἀκυροῦν τῆς Εἰκόνος θεόσοφε, τῆς κατ' ἄνθρωπον φύσεως, ἣν προσέλαβεν ὁ Λόγος δι' εὐσπλαχνίαν.

www.tezaurliturgic.ro

Θεολογῶν θεοπρεπῶς, τῆς Ὀρθοδοξίας τὸν λόγον, ἐρεσχελίαις ταῖς δειναῖς, τῶν ποικίλων ἀντετάξω αἱρέσεων, Γερμανὲ παμμακάριστε, αὐγαζόμενος τῷ φέγγει τῷ τρισηλίῳ.

Θεοτοκίον.

Ὡς τὸν ἁπάντων Ποιητήν, τέξασα ἐν ὕλῃ βροτείᾳ, ὑπὲρ κατάληψιν Ἁγνή, ὑπερτέρα πάσης κτίσεως πέφηνας. Οὗ τὸν τύπον τοῦ σώματος, ἐν εἰκόσι προσκυνοῦμεν θεογεννῆτορ.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Γνώσει τῇ ποικίλῃ διαπρέπων, σοφίας παντοδαποῦς Γερμανὲ ἔνδοξε, στύλος καὶ ἑδραίωμα, Ἐκκλησίας γέγονας, σοφῶς πολιτευόμενος καὶ ψάλλων Ὅσιε. Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἔνθους μὲν ἀνύμνεις Ἱεράρχα, Κυρίου τὴν ὑπὲρ λόγον συγκατάβασιν, μελιρρύτοις ᾄσμασι, τῶν Εἰκονομάχων δέ, τὴν ἄνοιαν διήλεγχες σοφοῖς σου ῥήμασι· διὸ ὁμολογίας στεφάνῳ, ὁ Χριστός σε Πάτερ, ἐδόξασεν ἀξίως.

Ῥήσεσι τῶν θείων Ἀποστόλων, Πατέρων δὲ ταῖς ἁγίαις παραδόσεσι, Γερμανὲ ἑπόμενος, ὡς ποιμὴν πανάριστος, καὶ οἰκονόμος γνήσιος τῆς θείας χάριτος, τὴν τῶν Εἰκονομάχων μανίαν, ᾔσχυνας παμμάκαρ, ὀρθῇ διδασκαλίᾳ.

Θεοτοκίον.

Ἄχραντε Παρθένε Θεοτόκε, Ἀγγέλων καὶ Ἀρχαγγέλων ἀγαλλίαμα, κόσμου καταφύγιον, καὶ βροτῶν διάσωσμα, ἐμὲ τὸν ἀπολλύμενον πολλοῖς ἐν πάθεσι, διάσωσον τῇ σῇ εὐσπλαχνίᾳ καὶ πρὸς σωτηρίας, ὁδήγησόν με ὅρκον.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στέφος εὐπρεπές, ζωῆς ἀϊδίου σοι, Χριστὸς δεδώρηται, ὡς καλῶς τελέσαντι, τῆς εὐσεβείας τὸν δρόμον Ὅσιε, καὶ ἀσινῆ

www.tezaurliturgic.ro



τηρήσαντι πίστιν τὴν ἔνθεον, καὶ Ἀγγέλων, σύσκηνόν σε ἔδειξε, Γερμανὲ μετὰ τέλος τὸ ἅγιον.

Ἴθυνας καλῶς, καὶ λόγοις καὶ πράξεσι, καὶ θείοις δόγμασι, Γερμανὲ πανεύφημε, τῆς Ἐκκλησίας ἅπαν τὸ πλήρωμα, ὑπὲρ τοῦ θείου δόγματος, σαὐτὸν προθέμενος, εἰς ἀγῶνας, καὶ κινδύνους Ὅσιε, ὡς Χριστοῦ μιμητὴς ἀκριβέστατος.

Μέγας ἀληθῶς, ἐν βίῳ γενόμενος, σοφίας χάριτι, Γερμανὲ μακάριε, μεγίστου θρόνου λαμπρῶς ἠξίωσαι, καὶ τοῦτον κατεκόσμησας μεγάλοις σκάμμασιν, εὐσεβείας, Ἱεράρχα μέγιστε, χαρισμάτων μεγάλων ἀνάπλεε.

Ὅρμον τῆς ζωῆς, τῆς ἄνω κατέλαβες, βίου τὴν θάλασσαν, ἀκυμάντως Ἅγιε, διαπεράσας αὔραις τοῦ Πνεύματος, καὶ τοῦ φωτὸς πεπλήρωσαι τοῦ ὑπὲρ ἔννοιαν θεοφάντορ· δι' οὗ κἀμὲ φώτισον, τὸν ἐν σκότει παθῶν πορευόμενον.

Θεοτοκίον.

Ὕψωσον Ἁγνή, ψυχῆς μου τὴν ἔφεσιν, πρὸς θεῖον ἔρωτα, καὶ τὸν νοῦν μου πλήρωσον, φωτὸς ἀΰλου ἐπιστασίᾳ σου, ὡς ἂν φωτὸς πορεύσωμαι τὴν τρίβον Δέσποινα, καὶ πρὸς φέγγος, φθάσω τὸ ἀνέσπερον, τῆς χαρᾶς τοῦ Υἱοῦ σου Πανάχραντε.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν ὁρώντων σε.

Ὡς Ἱεράρχης θεῖος καὶ θεηγόρος, πολυειδῶς φαιδρύνεις τὴν Ἐκκλησίαν, λόγῳ καὶ σοφίᾳ τε καὶ χάριτι, καὶ πολιτείᾳ κρείττονι· διό σε ἀνευφημοῦμεν, ὦ Γερμανὲ θεοφάντορ.

Καὶ τὸ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

www.tezaurliturgic.ro

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν Ἱεράρχην Κυρίου ὕμνοις τιμήσωμεν, ὡς πεπλησμένον θείας, ἀληθῶς φωταυγείας, τῶν θείων Ἀποστόλων τὸν μιμητήν, Γερμανὸν τὸν θεόσοφον, ἵνα πρεσβεύῃ ἀπαύστως ὑπὲρ ἡμῶν, πρὸς Χριστὸν τὸν μόνον εὔσπλαχνον.

Τῇ θεοσόφῳ σου γλώσσῃ καὶ θεορρήμονι, διήλεκται ἡ γνώμη, ὡς ἀντίθεος οὖσα, καὶ πλήρης ἀπονοίας αἱρετικῆς, Ἱεράρχα τοῦ Λέοντος, καὶ ἡ τιμὴ τῶν Εἰκόνων ἡ εὐσεβής, θεοφρόνως πεφανέρωται.

Ἱεραρχίας τὴν χλαῖναν τὴν θεοΰφαντον, πνευματικαῖς καμάτοις, τοῦ ἀμέμπτου σου βίου, τελέσας λαμπροτέραν Πάτερ σοφέ, μετὰ δόξης ἀνέδραμες, ἔνθα Χριστὸς πρῶτος πάντων ὑπὲρ ἡμῶν, εἰσελήλυθε μακάριε.

Τῆς εὐσεβείας τὸ στόμα τὸ θεοκίνητον, ὁ Γερμανὸς ὁ μέγας, τοῦ Χριστοῦ Ἱεράρχης, τὸ γέρας τῶν ἁγίων Ἱεραρχῶν, Ἐκκλησίας τὸ σέμνωμα, ἀξιοχρέως τιμάσθω νῦν παρ᾽ ἡμῶν, ὡς ἡμῶν πρέσβυς πρὸς Κύριον.

Δόξα. Ἦχος πλ. δ΄.

Τῇ μελέτῃ τῶν θείων Γραφῶν, σεαυτὸν παρασχόμενος, καὶ ταῖς ἐκεῖθεν ἀκτῖσι, τὸν νοῦν καταυγασθείς, τῆς ἱερωτάτης ἱεραρχίας, σκεῦος καθαρόν, καὶ φωτὸς ἔμπλεων ἀνεδείχθης, Γερμανὲ Πατὴρ ἡμῶν. Ὅθεν καὶ ταῖς σοφαῖς σου διδασκαλίαις τὸ τοῦ Χριστοῦ ποίμνιον, εἰς νομὰς ζωηφόρους ὁδηγήσας, καὶ Γραφικαῖς ἀποδείξεσι, τὴν τῶν Εἰκονομάχων αἵρεσιν στηλιτεύσας, τῆς Ὀρθοδόξου πίστεως, πρόμαχος ἐγένου, καὶ φυλακαῖς καὶ θλίψεσι προσεπέλασας· καὶ νῦν παριστάμενος Χριστῷ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄. καὶ στ΄. ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Χρυσοστόμου, 13η Νοεμβρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις ὁ τῆς χάριτος θησαυρός, Γερμανὲ παμμάκαρ, Ἱεράρχα Πάτερ σοφέ· χαίροις θεῖον γέρας, Χριστοῦ τῆς Ἐκκλησίας, καὶ τῶν σοὶ ὁμωνύμων, ἐν βίῳ ἔφορος.

Δίστιχον.

Γέρας Γερμανὲ παράσχου Πάτερ θεῖον
Γερασίμῳ μέλψαντι τὰς ἀρετάς σου.